

# Ἄδουσι τὴν Ὠδὴν τοῦ Ἀρνίου

(Ἀποκαλ. ιε΄ 3)



## Ἐπὶ τῇ ἱερᾷ Μνήμῃ τῆς ἱερᾶς Θεομητορικῆς Εἰκόνος
## «Ἡ Ἀπροσδόκητος Χαρὰ»
**9η Νοεμβρίου**




### Ἀπολυτίκιον*
Ἦχος γ΄. Θείας Πίστεως.

Τὴν Ἀπροσδόκητον Χαράν μοι δώρησαι, Παντοβασίλισσα, διὰ τῆς Σκέπης Σου, τῶν λυπηρῶν ἐπαγωγὰς καὶ θλίψεων σκεδάζουσα· σπεῦσον νῦν, Θεόνυμφε, καὶ ταχέως ἐκπλήρωσον, πάντα τὰ αἰτήματα τοῦ προσπίπτοντος δούλου Σου, Εἰκόνι Σου τῇ θείᾳ καὶ βοῶντος· Χαῖρε, ἐλπὶς ἀπηλπισμένων!

### Κοντάκιον*
Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ Στρατηγῷ.

Ἀπροσδοκήτῳ Σου Χαρᾷ Θεοκυῆτορ, τῶν Ὀρθοδόξων οἱ χοροὶ Σὲ ἀνυμνοῦσι, καὶ ἐν ᾄσμασιν Εἰκόνι Σου ἀγρυπνοῦσιν· ὡς ταμεῖον εὐσπλαγχνίας ἀνεξάντλητον, μὴ παρίδῃς τοὺς ἐν πτώσει νῦν στενάζοντας, αἰτουμένους δὲ νεῦσιν θείαν πρὸς ἀνόρθωσιν.

### Μεγαλυνάριον*
Ἦχος πλ. δ΄.

Πᾶσιν Ἀπροσδόκητον Χαράν, βλύσον Θεοτόκε, ταῖς πρεσβείαις Σου πρὸς Χριστόν, Εἰκόνι Σου θείᾳ, προσπίπτουσιν ἐν πίστει, Μετάνοιαν ποθοῦντες, ἐν τῷ Φωτὶ τοῦ Χριστοῦ.

---

(*) Ἐποιήθησαν, Χάριτι Θείᾳ, ὑπὸ † Σεβασμ. Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς Κυπριανοῦ. Τὸ Ἀπολυτίκιον τῇ 22ᾳ Μαρτίου 2008ῳ, Χαιρετισμοὶ Δ΄· τὸ Κοντάκιον καὶ τὸ Μεγαλυνάριον τῇ 3ῃ Ὀκτωβρίου 2020ῳ.